Ακαδημία Αθηνών / Academy of Athens

**ὄρεξις.** Ἐπιθυμία, desire, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀ ρ έ ξ ε ι ς τυφλοῦσιν εἰς τἆλλα τὴν ψυχὴν* 219 *χρημάτων ὄ ρ ε- ξ ι ς, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀ ρ έ ξ ε ι ς μέζονας ἐνδείας ποιεῦσιν* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄ ρ ε ξ ι ς πενίην ἰσοσθενέα πλούτῳ ποιέει.* Πρβλ. *ἐπιθυμία.*

**ὀρθοέπεια.** Ὀρθοέπεια, correct diction, Δημόκριτος 20a (τίτλ.) *Περὶ Ὁμήρου ἢ Ὀ ρ θ ο ε π ε ί η ς καὶ γλωσσέων.*

**ὀρθοπραγεῖν.** Πράττω ὀρθά, act rightly, Δημόκριτος 181.6 *διόπερ συνέσει τε καὶ ἐπιστήμῃ ὀ ρ θ ο π ρ α γ έ ω ν τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γίγνεται.*

**ὀρθός.** Ὀρθός, right, Δημόκριτος 58 *ἐλπίδες αἱ τῶν ὀ ρ θ ὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.*

**ὀρθοσύνη.** Ὀρθοφροσύνη, uprightness, Δημόκριτος 40 *οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀ ρ θ ο- σ ύ ν ῃ καὶ πολυφροσύνῃ.*

**ὀρθοῦν.** Ἀναιρῶ/ἐξουδετερώνω, take back/offset, Δημόκριτος 187 *ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀ ρ- θ ο ῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.*

**ὀρθῶς.** Ὀρθῶς, rightly/justly, Μέλισσος 8(2)-(5) *εἰ δὴ ταῦτα ἔστι, καὶ ἡμεῖς ὀ ρ θ ῶ ς ὁρῶμεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν ... νῦν δέ φαμεν ὀ ρ- θ ῶ ς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι ... δῆλον τοίνυν, ὅτι οὐκ ὀ ρ θ ῶ ς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀ ρ θ ῶ ς δοκεῖ εἶναι· οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθῆ ἦν* Ἀναξαγόρας 17 *τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀ ρ θ ῶ ς νομίζουσιν οἱ Ἕλληνες ... καὶ οὕτως ἂν ὀ ρ θ ῶ ς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι* Ἀρχύτας 1.2 *οὐθὲν ἄτοπον ὀ ρ θ ῶ ς αὐτούς, οἷά ἐντι, περὶ ἑκάστων φρονέειν.*

**ὄρθωσις.** Παράγων σωτηρίας/ἐγγύηση ἐπιτυχίας, saving factor/guarantee of success, Δημόκριτος 252.5 *πόλις γὰρ εὖ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ